Greek Text of the Heliodorus Inscription
Source: http://www.library.upenn.edu/exhibits/cajs/fellows08/cajs2008.html

Δορυμένης Διοφάνει χαίρειν· τῆς παρὰ Ἡλιοδώρου
τοῦ ἐπὶ τῶν πραγμάτων ἀποδοθείσης ἡμῖν ἐπιστολῆς
κατακεχώρισται τὸ ἀντίγραφον. Εὖ οὖν ποιήσεις
φροντίζων ἵνα ἕκαστα συντελῆται ἀκολούθως
τοῖς ἐπεσταλμένοις.
(Ἔτους) δλρʹ Γορπιαίου κβʹ

Ἡλιόδωρος Δορυμένει τῶι ἀδελφῶι χαίρειν· τοῦ ἀπο-
δοθέντος ἡμῖν προστάγματος παρὰ τοῦ βασιλέως
περὶ τῶν κατὰ Ὀλυμπιόδωρον ὑποτέτακτ̣αι τὸ ἀντί-
γραφον. Εὖ οὖν ποιήσεις κατακολουθήσας τοῖς ἐπεσ-
ταλμένοις.
(Ἔτους) δλρʹ Γορπιαίου κ{γ}ʹ

Βασιλεὺς Σέλευκος Ἡλιοδώρωι τῶι ἀδελφῶι χαίρειν·
πλείστην πρόνοιαν ποιούμενοι περὶ τῆς τῶν ὑπο-
τεταγμένων ἀσφαλείας καὶ μέγιστον ἀγαθὸ̣[ν]
εἶναι νομίζοντες τοῖς πράγμασιν, ὅταν οἱ κατὰ
τὴν βασιλείαν ἀδεῶς τοὺς ἑαυτῶν βίους διοικῶ-
σιν, καὶ συνθεωροῦντες, ὡς οὐθὲν δύναται μετα-
λαμβάνειν τῆς καθηκούσης εὐδαιμονίας ἄνευ
τῆς τῶν θεῶν εὐμ‹ε›νείας, ἵνα μὲν τὰ καθιδρυ-
μένα κατὰ τὰς ἄλλας σατραπείας ἱερὰ τὰς πατρίο[υς]
κομίζηται τιμὰς μετὰ τῆς ἁρμοζούσης θεραπ̣[είας],
[ἐ]ξ ἀρχῆς τυγχάνομεν τεταγμένοι, τῶν δὲ κ̣[ατὰ]
[Κο]ί̣λ‹η›ν Συρίαν καὶ Φοινίκην πραγμάτων οὐκ ἐ[χόντων]
[τὸν τα]σσόμενον πρὸς τῆι τούτων ἐπιμελ[είαι - *ca. 6* -]
----------μεν ὅτι σωφρόνω̣ς πρὸς τὴ̣[ν ------------------]
----------των Ὀλυμπιόδωρος ---------------------------
----------κ̣ήψεως ΕΚΤ̣----------------------------------
--------------------------------------------------------------